# ΚΥΡΙΑΚΗ Γ΄ ΜΑΤΘΑΙΟΥ

## Τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἡ Ἀνάστασις

* * *

## Πάντες οἱ Νεοφανεῖς Μάρτυρες, οἱ μετὰ τὴν Ἅλωσιν τῆς Κωνσταντινουπόλεως μαρτυρήσαντες

**Τῇ τρίτῃ Κυριακῇ τοῦ Ματθαίου, τὴν Μνήμην ἑορτάζομεν πάντων τῶν Νεοφανῶν Μαρτύρων, τῶν μετὰ τὴν Ἅλωσιν τῆς Κωνσταντινουπόλεως μαρτυρησάντων**

### Ἀπολυτίκιον.

Ἦχος γ΄. Θείας Πίστεως.

Νέοι Μάρτυρες, παλαιὰν πλάνην, καταστρέψαντες, ὕψωσαν Πίστιν, τῶν Ὀρθοδόξων, καὶ στεῤῥῶς ἠγωνίσθησαν· τὴν γὰρ ἀνόμων θρησκείαν ἐλέγξαντες, ἐν παῤῥησίᾳ Χριστὸν ἀνεκήρυξαν, Θεὸν τέλειον. Καὶ νῦν ἀπαύστως πρεσβεύουσι, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.




*Οἱ Ἅγιοι Ἔνδοξοι Νεομάρτυρες. Φορητὴ Ἱ. Εἰκὼν Ἱ. Μ. Ξηροποτάμου, Ἄθωνος.*

### Κοντάκιον.

Ἦχος α΄. Τὸν τάφον Σου Σωτήρ.

Ἀγάλλου μυστικῶς, ἡ Χριστοῦ Ἐκκλησία, ὁρῶσα Σοὺς υἱούς, Νεομάρτυρας κύκλῳ, τραπέζης Σου καὶ βήματος, ἱσταμένους ἐν κόνεσιν, ὡς νεόφυτα, τῶν ἐλαιῶν καὶ τῷ Κτίστῃ ἀνακραύγαζε· Σὺ τῶν Μαρτύρων ὑπάρχεις, Χριστὲ τὸ στερέωμα.

### Στίχοι.

Νέοι ἀθληταί,
ὤλεσαν τὴν γραῦν Ἄγαρ.
Καὶ νῦν σύνεισι τοῖς ἀθληταῖς
τοῖς πάλαι.
Βῆ δὲ Πόλον πληθύς,
νεάθλων ἄστυ θεοῖο.